# ΑΓΑΜΕΜΝΩΝ.

---

ΦΥΛΑΞ.

Θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
Φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
Στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
Ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
Καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
Λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
Ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν·
Καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
Αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν,
Ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
Γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
Εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
Εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην
Ἐμὴν, φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ
Τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ·
Ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
Ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
Κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων,
Οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
Νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
Εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
Ὦ χαῖρε λαμπτὴρ νυκτὸς, ἡμερήσιον
Φάος πιφαύσκων καὶ χορῶν κατάστασιν

---

2. μῆκος δ' ἣν (— ἥν = ἦν) = μῆκος ἦν — f. μῆχος 3. ἔγκαθεν 4. νεκτέρων 5. (βροτοὺς) = βροτοῖς θέρος 7. ὅτ' ἂν 10. 11. v. κρατεῖν Γ. ἀ. ἐλπίζω 11. ἐλπίζων 12. (εὖτ' ἂν γε.) 14. (f. Εμοὶ.) 16. ὅτ' ἂν 17. ἐκτέμνων 22. λαμπτὴρ, ν. ἡμ. 23. νῦν φῶς — (χωρῶν).